οὐχ ὡς σὺ κομπεῖς τὰς ἐμὰς ἀμύστιδας,
οὐδ' ἐν ζαχρύσοις δώμασιν κοιμώμενος,
ἀλλ' οἷα πόντον Θρῄκιον φυσήματα
κρυσταλλόπηκτα Παίονάς τ' ἐπεζάρει,
ξὺν τοῖσδ' ἄυπνος οἶδα τλὰς πορπάμασιν.
ἀλλ' ὕστερον μὲν ἦλθον, ἐν καιρῷ δ' ὅμως·
σὺ μὲν γὰρ ἤδη δέκατον αἰχμάζεις ἔτος
κοὐδὲν περαίνεις, ἡμέραν δ' ἐξ ἡμέρας
ῥίπτεις κυβεύων τὸν πρὸς Ἀργείους Ἄρην·
ἐμοὶ δὲ φῶς ἓν ἡλίου καταρκέσει
πέρσαντι πύργους ναυστάθμοις ἐπεισπεσεῖν
κτεῖναί τ' Ἀχαιούς· θητέρᾳ δ' ἀπ' Ἰλίου
πρὸς οἶκον εἶμι, συντεμὼν τοὺς σοὺς πόνους.
ὑμῶν δὲ μή τις ἀσπίδ' ἄρηται χερί·
ἐγὼ γὰρ ἕξω τοὺς μέγ' αὐχοῦντας δορὶ
πέρσας Ἀχαιούς, καίπερ ὕστερος μολών.

*ΧΟ.* ἰὼ ἰώ. str.
φίλα θροεῖς, φίλος Διόθεν εἶ· μόνον
φθόνον ἄμαχον ὕπατος
Ζεὺς θέλοι ἀμφὶ
σοῖς λόγοισιν εἴργειν.
τὸ δὲ νάιον Ἀργόθεν δόρυ
οὔτε πρὶν οὔτε νῦν τιν'
ἀνδρῶν ἐπόρευσε σέθεν κρείσσω. πῶς μοι
Ἀχιλεὺς τὸ σὸν ἔγχος ἂν δύναιτο,
πῶς δ' Αἴας ὑπομεῖναι;
εἰ γὰρ ἐγὼ τόδ' ἦμαρ εἰσίδοιμ', ἄναξ,
ὅτῳ πολυφόνου
χειρὸς ἀποινάσαιο λόγχᾳ.

*ΡΗ.* τοιαῦτα μέν σοι τῆς μακρᾶς ἀπουσίας

---

441. *ἐπεζάρει*] Canterus, *ἐπεζάτει* libri. 442. *ἀόπλοις οἷα BC* *πορπάμασιν*] Porsonus, *πορπάσμασιν* BCbc *πορπήμασιν ABC* 446. *ῥίπτεις*] Sallierius, *πίπτεις* libri. *ἄρη* bc *A* 448. *ναυστάθμους* BCbc 449. *θητέρᾳ τ' ABC* 451. *ἄρηται*] L. Dindorfius, *αἴρηται* BCb *αἱρέτω ABC* 452. *μεγαλαυχοῦντας* BCbc 453. *ὕστερος* BC *ὕστερον* ceteri. 457. *ἐθέλοι* BCbc 462. *Ἀχιλεύς*] Nauckius, *Ἀχιλλεύς* libri. 465. *ὅτῳ*] Nauckius, *ὅπως* libri.